Ακαδημία Αθηνών / Academy of Athens



**ἀναθυμίασις.** 'Αναθυμίαση, exhalation, 'Ηράκλειτος Α 15 (DK I 147,25-29) τὴν ἀρχὴν εἶναί φησι ψυχήν, εἴπερ τὴν *ἀναθυμίασιν* ἐξ ἧς τἆλλα συνίστησιν ... τὴν μὲν τοῦ κόσμου ψυχὴν *ἀναθυμίασιν* ἐκ τῶν ἐν αὐτῷ ὑγρῶν ... τῆς ἐν αὐτοῖς *ἀναθυμιάσεως* 12 Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν *ἀναθυμίασιν.*

**ἀναιδής.** 'Αναιδὴς/ἀναίσχυντος, shameless, 'Ηράκλειτος 15 *εἰ μὴ Διονύσῳ πομπὴν ἐποιοῦντο ... ἀναιδέστατα εἴργαστ' ἄν.*

**ἀναιρεῖσθαι.** Παίρνω/ἀποδέχομαι, take/accept, 'Εμπεδοκλῆς 3.7 *ἄνθεα τιμῆς πρὸς θνητῶν ἀνελέσθαι.* Πρβλ. *λαμβάνειν, δέχεσθαι.*

**ἀναίσιμος** (ἀντίθ. *αἴσιμος*). 'Ανάρμοστος/ἀπρεπής, unfitting/unseemly, 'Εμπεδοκλῆς 27 a *οὐ στάσις οὐδέ τε δῆρις ἀναίσιμος ἐν μελέεσσιν.*

**ἀνακηδής. 1.** Ξένοιαστος/γαλήνιος, careless/at peace with oneself, Δημόκριτος 174 *χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν* **2.** 'Αμελὴς/ἀδιάφορος, negligent/indifferent, Δημόκριτος 254 *μᾶλλον ἀνακηδέες γίγνονται.*

**ἀναλγησίη.** 'Αναλγησία/ἀναισθησία, insensibility, Δημόκριτος 193 *φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ γενομένην μὴ ἀμύνασθαι.*

**ἀναλογία.** 'Αναλογία (μαθηματική), proportion, 'Αρχύτας 2.6 *ἐν ταύτᾳ* ‹*τᾷ*› *ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον* 2.14 *ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ.*

**ἀναλοῦν.** Δαπανῶ, expend, Δημόκριτος 280 *οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας.*

**ἀναμιμνήσκεσθαι.** 'Ενθυμοῦμαι, remember, Δημόκριτος 174 *ὅταν τευ ἀναμνησθῇ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ